μὲν γιγνώσκοντας ἐμοί, τἀναντία δ' ἄλλοις, πειράσομαι μετὰ τούτων τοὺς ἑτέρους πεῖσαι. Εἰ μὲν οὖν οἰήσεσθε δεῖν μὴ 'θέλειν ἀκούειν, οὐκ ὀρθῶς ποιήσετε· ἂν δ' ἀκούσητε σιωπῇ καὶ τοῦθ' ὑπομείνητε, δυοῖν ἀγαθοῖν θάτερον ὑμῖν ὑπάρξει· ἢ γὰρ πεισθήσεσθε, ἄν τι δοκῶμεν συμφέρον λέγειν, ἢ βεβαιότ|ερον περὶ ὧν ἐγνώκατ' ἔσεσθε πεπεισμένοι. Ἂν γάρ, οἷς τι διαμαρτάνειν οἰόμεθ' ἡμεῖς ὑμᾶς, ταῦτα μηδενὸς ἄξια φανῇ, μετ' ἐλέγχου τὰ δεδογμένα νῦν ὑμεῖς ἔσεσθ' ᾑρημένοι.

## ΜΔ [ΜΕ]

1 Βουλοίμην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν ηὐδοκίμηκε λέγων παρ' ὑμῖν ὁ δεῖνα, ἐπὶ τῶν ἔργων πραττομένων ἴσον αὐτῷ τὸν ἔπαινον γενέσθαι· οὔτε γὰρ τούτῳ κακόνους εἰμὶ μὰ τοὺς θεοὺς ὑμῖν τ' ἀγαθὸν βούλομαι ἂν γενέσθαι. Ἀλλ' ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ κεχωρισμένον ᾖ λόγον εἰπεῖν εὖ καὶ προελέσθαι πράγματα συμφέροντα, καὶ τὸ μὲν ῥήτορος ἔργον ᾖ, τὸ δὲ νοῦν ἔχοντος ἀνθρώπου. 2 Ὑμεῖς τοίνυν οἱ πολλοί, καὶ μάλισθ' οἱ πρεσβύτατοι, λέγειν μὲν οὐκ ὀφείλεθ' ὁμοίως δύνασθαι τοῖς δεινοτάτοις· τῶν γὰρ εἰθισμένων τοῦτο τὸ πρᾶγμα· νοῦν δ' ἔχειν ὀφείλεθ' ὁμοίως καὶ μᾶλλον τούτων· αἱ γὰρ ἐμπειρίαι καὶ τὸ πόλλ' ἑορακέναι τοῦτ' ἐμποιοῦσι. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, φανῆτ' ἀγνοοῦντες ἐν τῷ παρόντι νῦν ὅτι αἱ διὰ τῶν λόγων ἀνδρεῖαι καὶ θρασύτητες, ἐὰν μὴ μεθ' ὑπαρ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416057004/48 UNIVERSITÄT LEIPZIG